www.tezaurliturgic.ro



# ΣΕΠΤΕΜΒΡΙΟΥ Κ΄
# ΜΝΗΜΗΝ ΕΠΙΤΕΛΟΥΜΕΝ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΥΡ ΙΩΑΝΝΟΥ ΤΟΥ ΞΕΝΟΥ ΤΟΥ ΕΝ Τῌ ΝΗΣῼ ΤΩΝ ΚΡΗΤΩΝ ΛΑΜΨΑΝΤΟΣ.*

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τὸν μιμητὴν τοῦ Προδρόμου, ὡς καὶ ὁμώνυμον, τιμήσωμεν ἀξίως, Ἰωάννην τὸν θεῖον· οὗτος γὰρ ἀγάπῃ τῇ θεϊκῇ, ἣ μητρὸς ἐν τῷ γάλακτι, ἀναπραφεὶς πολιτείαν ἀγγελικήν, ἐκ νεότητος ἠγάπησεν.

Ἡ νῆσος Κρήτη εὐφραίνου, χεῖρας κροτοῦσα φαιδρῶς· ἐκ σοῦ γὰρ ἀνεφύη, ὡς κατάκαρπος φοῖνιξ, ὁ θεῖος Ἰωάννης καρποφορῶν, ἀφθαρσίας τὰς χάριτας, δι᾽ ὧν ἐκτρέφει καὶ θάλπει τῶν εὐσεβῶν, τὰς καρδίας θείῳ Πνεύματι.

Δι᾽ ἀκραιφνοῦς ἡσυχίας, καὶ ἐγκρατείας πολλῆς, σαυτὸν ἀποκαθάρας, τῶν προσύλων φροντίδων, ἀΰλου ἠξιώθης Πάτερ φωτός, καὶ φωνῆς θείας ἤκουσας, ὡς Ἠλιοὺ ὁ Θεσβίτης καὶ ζηλωτής, οὗ τὸν βίον ἐπεπόθησας.

Τῶν οὐρανίων χαρίτων, ταῖς ἐπιλάμψεσιν, ἐπεντρυφῶν ἀπαύστως, καὶ τῆς δόξης τοῦ Λόγου, ἐπόπτης ὡς ὑπάρχων καὶ κοινωνός, Ἰωάννη πατὴρ ἡμῶν, μὴ διαλίπῃς πρεσβεύων ὑπὲρ ἡμῶν, τῶν τελούντων σου τὴν μνήμην ἀεί.

Δόξα Πατρί... Ἦχος β΄.

Ὅσιε Πάτερ, ἀπὸ σπαργάνων τὴν ἀρετὴν ποθήσας, τῷ θείῳ φόβῳ συνήκμασας, ᾧ καὶ ἐχρήσω ὡς ὁδηγῷ θεόφρονι· παρ᾽ οὗ ἀπλανῶς χειραγωγούμενος, τὰς τῆς κακίας ἀφορμὰς ἐξέφυγες, καὶ εἰς μέτρον ἔφθασας, τῆς ἐν Χριστῷ τελειότητος· διὸ ἀπαύστως δυσώπει, ὑπὲρ τῶν πίστει τελούντων σου, τὴν ἱερὰν πανήγυριν.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Σύ μου σκέπη κραταιὰ ὑπάρχεις, ὁ τριμερὴς Σταυρὸς τοῦ Χριστοῦ· ἁγίασόν με τῇ δυνάμει σου, ἵνα πίστει καὶ πόθῳ, προσκυνῶ καὶ δοξάζω σε.

---

* Ἡ Ἀκολουθία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Ξένου, ἐποιήθη ὑπὸ τοῦ Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου καὶ ἐξεδόθη τὸ πρῶτον ἐν Βόλῳ, ἐκ τοῦ Ἐκδοτικοῦ Οἴκου Σωτ. Ν. Σχοινᾶ (1936). Ἐλλείποντος συναξαριακοῦ ὑπομνήματος προσετέθη τοιοῦτον, συνταχθὲν ὑπὸ τοῦ Ἱερέως Εὐαγγέλου Παχυγιαννάκη, δημοσιευόμενον τὸ πρῶτον ἐνταῦθα.

www.tezaurliturgic.ro



Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Χάριτος θεϊκῆς, ἐπλήσθης Ἰωάννη, ὁσίως καὶ ἀμέμπτως, πολιτευθεὶς ἐν κόσμῳ· διὸ ἡμᾶς χαρίτωσον.

Στίχ. Τίμιος ἐναντίον Κυρίου...

Σθένει τῷ θεϊκῷ, σαρκὸς ἐν ἀσθενείᾳ, ῥωννύμενος καθεῖλες, δαιμόνων τὰς ἐπάρσεις, καὶ δόξης θείας ἔτυχες.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Χάριτας δαψιλῶς, ποικίλων ἰαμάτων, ὥσπερ τρυφῆς χειμάῤῥουν, βλυστάνει Ἰωάννη, ἡ κάρα σου ἑκάστοτε.

Δόξα Πατρί. Τριαδικόν.

Τίμιον ἀληθῶς, καὶ εὔχρηστον εἰργάσω, Τριὰς Ὑπεραγία, σκεῦος τὸν Ἰωάννην, ὡς σοὶ εὐαρεστήσαντα.

Καὶ νῦν. Θεοτοκίον.

Πόθῳ σου καὶ στοργῇ, ὁ θεῖος Ἰωάννης, Μονὴν λαμπρὰν ἐγείρας, ἀνέθετό σου Κόρη, οἱά περ θεῖον ποίμνιον.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον, ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ, καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. στ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τοῦ Σταυροῦ ταῖς ἐλλάμψεσι, φωτισθεὶς τὴν διάνοιαν, κοσμικὴν κατέλιπες ἀμαυρότητα, καὶ τῷ Χριστῷ ἠκολούθησας, ἐκ βρέφους μιμούμενος, τὴν οὐράνιον ζωήν, τοῦ Προδρόμου τῆς χάριτος, οὗ τῆς κλήσεως, κοινωνὸς Ἰωάννη ἀνεδείχθης καὶ ὁμότροπος ἐν πᾶσι, δι' ἀκροτάτης ἀσκήσεως.

Ὡς θεμέλιον ἄσειστον, τῇ καρδίᾳ σου θέμενος, ἐκ παιδὸς τὸν ἔνθεον φόβον ὅσιε, ταῖς ἀρεταῖς ναὸν ἔμψυχον, ὡς λίθοις ἀνήγειρας, σεαυτὸν τῷ Λυτρωτῇ, οὗ ὑπείκων ταῖς νεύσεσιν, ᾠκοδόμησας, ναοὺς πλείστους ἐν Κρήτῃ Ἰωάννη, μοναζόντων θεῖον στέφος, περιφανῶς ἐπαγόμενος.

Ὡς οὐράνιον ἄνθρωπον, καὶ ἐπίγειον Ἄγγελον, ὡς Χριστοῦ θεράποντα γνησιώτατον, ὡς ἀρετῶν ὑποτύπωσιν, καὶ γνώμονα ἔνθεον, καὶ κανόνα ἀκριβῆ, ἐγκρατείας καὶ πίστεως, εὐφημοῦμέν σε, Ἰωάννη Ὁσίων ὡραιότης, ἑορτάζοντες ἐν ὕμνοις, τὴν ἀξιέπαινον μνήμην σου.

Ἕτερα.
Ἦχος β΄. Ποίοις εὐφημιῶν στέμμασιν.

Ποίοις εὐφημιῶν στέμμασι, καταστέψωμεν τὸν Ἰωάννην; τὸν ὡς ἀληθῶς χαριτώνυμον, καὶ τῇ πολιτείᾳ ἰσάγγελον, τὸν λαμπρὸν τῆς χάριτος ἀστέρα· τοῦ κόσμου, τὸν ὑπερόπτην καὶ ὑπέρτερον, τοῦ Λόγου, τὸ καθαρώτατον κειμήλιον· τούτῳ γὰρ πειθαρχήσας, ἐντολῶν τῶν θείων, ἀνεπαίσχυντος πληρωτής, πανσόφως γεγένηται, διὰ βίου τελειότητος.

Ποίοις ὑμνῳδιῶν φθέγμασιν, εὐφημήσωμεν τὸν Ἰωάννην; τὸν τὴν Κρήτην πᾶσαν ὡς σχοίνισμα, ἀποστολικῶς διατρέξαντα, εἰς πολλῶν ὠφέλειαν καὶ λύτρον· τὴν θείαν, τῶν πεπτωκότων ἐπανόρθωσιν, τὴν κρήνην, τῆς πρακτικῆς ἀνακαθάρσεως· τὸν ἱδρυτὴν ναῶν πλείστων, πόθῳ οὐρανίῳ, οὓς ἐδείματο πανταχοῦ, τῆς νήσου εἰς αἴνεσιν, τοῦ λαμπρῶς αὐτὸν δοξάσαντος.

Ποίοις οἱ γηγενεῖς χείλεσι, προσκυνήσωμεν τὴν θείαν κάραν; τὴν τοῦ Ἰωάννου τοῦ μάκαρος, τὴν τὰς ἐνεργείας τοῦ Πνεύματος, ὡς πηγὴν ἀκένωτον πλουτοῦσαν, καὶ μύρα, τῶν ἰαμάτων ἀναβλύζουσαν, καὶ ῥύπους, τῶν νοσημάτων ἐκκαθαίρουσαν, καὶ τῶν πταισμάτων τὴν λύσιν, τοῖς θεοσεβέσιν, αἰτουμένην παρὰ Θεοῦ, τοῖς ταύτῃ προστρέχουσι, μετὰ φόβου τε καὶ πίστεως.

Δόξα Πατρί. Ἦχος πλ. β΄.

Σήμερον ὁ θεοειδὴς τῆς Κρήτης βλαστός, Ἰωάννης ὁ ἔνδοξος, ὡς ἑωσφόρος ἐξέλαμψεν, ἐν τῷ τῆς μνήμης αὐτοῦ στερεώματι· δεῦτε οὖν, οἱ τῷ φωτὶ Κυρίου πορευόμενοι, τὴν τούτου δόξαν κατοπτεύσωμεν, καὶ ἐν ἀγαλλιάσει εἴπωμεν· χαίροις ὁ ἀπὸ βρέφους ἀνατεθεὶς τῷ Θεῷ, καὶ τὴν δοθεῖσάν σοι χάριν, εἰς ἑκατὸν αὐξήσας· χαίροις ὁ τοῦ Εὐαγγελίου ἐργάτης καὶ τῆς θρεψαμένης σε νήσου, ἀληθὴς κοσμήτωρ· χαίροις ὁ τῶν πασχόντων πατήρ, καὶ τῶν μοναζόντων μέγα παραμύθιον. Καὶ νῦν Χριστῷ παριστάμενος, ἱκέτευε ὅσιε Πάτερ, ὑπὲρ ἡμῶν τῶν ἐκ πόθου τελούντων, τὴν ἀεισέβα-

www.tezaurliturgic.ro



στον μνήμην σου.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Σήμερον προέρχεται ὁ Σταυρὸς τοῦ Κυρίου, καὶ πιστοὶ εἰσδέχονται αὐτὸν ἐκ πόθου, καὶ λαμβάνουσιν ἰάματα, ψυχῆς τε καὶ σώματος, καὶ πάσης μαλακίας. Αὐτὸν ἀσπασώμεθα τῇ χαρᾷ καὶ τῷ φόβῳ· φόβῳ μέν, διὰ τὴν ἁμαρτίαν, ὡς ἀνάξιοι ὄντες· χαρᾷ δὲ διὰ τὴν σωτηρίαν, ἣν παρέχει τῷ κόσμῳ, ὁ ἐν αὐτῷ προσπαγεὶς Χριστὸς ὁ Κύριος, ὁ ἔχων τὸ μέγα ἔλεος.

Εἴσοδος· τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. γ΄ 1 - 9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν· καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. ε΄ 15 - ϛ΄ 3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιό-τητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. δ΄ 7 - 15).

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοί, ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α΄.

Ἀγάλλου ἐν Κυρίῳ, ἡ περιώνυμος Κρήτη, καὶ εὐφροσύνην οὐράνιον, περιβαλοῦ ὡς διπλοΐδα. Ἰδοὺ γὰρ ἐν σοὶ ἐβλάστησεν, Ἰωάννης ὁ χαριτώνυμος, ὡς βότρυς ἀκήρατος, τῆς ζωηφόρου ἀμπέλου, καὶ τῶν χαρίτων τὸν οἶνον, τὸν τὰς καρδίας εὐφραίνοντα, διὰ παντὸς ἀναβλύζει· ὅθεν δαυϊτικὴν ἀναλαβοῦσα κινύραν, τὰς ἀρετὰς αὐτοῦ ἀνάγγειλον ὡς Ἡσαΐας φησί, ταῖς κύκλῳ νήσοις βοῶσα· Ἔλθετε, πίετε καὶ ἐμπλήσθητε, ἐκ τοῦ ἀθανάτου νέκταρος, τοῦ ἐμοῦ πολιούχου, καὶ τῷ Κυρίῳ βοήσατε· Κύριε, πρεσβείαις τοῦ Ὁσίου σου, παράσχου τῷ λαῷ σου, ἄφεσιν ἁμαρτιῶν καὶ εἰρήνην ἀμετάπτωτον, ὡς ἐλεήμων καὶ φιλάνθρωπος.

Ἦχος β΄.

Ἀγγελικὴν ὑπελθὼν πολιτείαν, ἀποστολικὴν διέδραμες πορείαν, Ἰωάννη πατὴρ ἡμῶν· σὺ

www.tezaurliturgic.ro



γὰρ θυσίαν εὐπρόσδεκτον, σεαυτὸν Κυρίῳ προσήγαγες, ἐκκαθαρθεὶς ἐμμελῶς, ἐκ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· διὸ τῶν ἀκηράτων ἀγαθῶν, ἐν μεθέξει γεγονώς, τοῖς πᾶσιν ἐβόας· δεῦτε τέκνα, φόβον Κυρίου διδάχθητε, ἵνα τὴν πηγὴν τῆς σοφίας καταλάβητε, ἐξ ἧς προέρχεται ζωὴ ἡ αἰώνιος.

Ἦχος γ΄.

Ἰχνηλατῶν ἐκ παιδός, τὴν τοῦ Βαπτιστοῦ βιοτήν, ἐν ἐρήμοις καὶ ὄρεσιν, ᾑρετίσω κατοικεῖν· ἐν οἷς θεοφανείας θείας ἀξιωθείς, τὸ τοῦ πλησίον συμφέρον, ὑπὲρ τὸ σὸν χριστομιμήτως ἐξεζήτησας· ὢ τῆς θερμῆς ἀγάπης! δι᾽ ἧς θεῖναι τὴν ψυχήν σου, ὑπὲρ τῶν σῶν φίλων προτετίμηκας. Ἀλλὰ πρέσβευε Χριστῷ τῷ Θεῷ, Ἰωάννη μακάριε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ΄.

Τὸν τοῦ Πνεύματος πυρσόν, τὸν ἀειφανῶς δᾳδουχοῦντα, τῆς ἀληθείας τὴν αἴγλην, Ἰωάννην τὸν ὅσιον, θεοπρεπῶς τιμήσωμεν· οὗτος γὰρ ὡς τῆς χάριτος ἐπώνυμος, τῷ τοῦ Λόγου πυρὶ ἀναφθείς, τὴν μὲν φρυγανώδη ἀπάτην κατέφλεξε, τῶν δὲ πιστῶν τὰς καρδίας, πρὸς θεῖον ἔρωτα ἐθέρμανεν· ἐν αὐταῖς γὰρ τὴν τῶν ἠθῶν ἁγνότητα φυτεύσας, τῶν ἀπείρων αὐτοῦ καμάτων, τὴν πλουσίαν ἀντίδοσιν, παρὰ Θεοῦ ἐκομίσατο· καὶ νῦν ταῖς Ἀγγελικαῖς συναγελάζων τάξεσιν, αἰτεῖται ταῖς ψυχαῖς ἡμῶν, εἰρήνην καὶ μέγα ἔλεος.

Δόξα Πατρί. Ἦχος ὁ αὐτός.

Τίς ἐπαξίως ὑμνήσει, τῆς πολιτείας σου τὸν τρόπον, Ἰωάννη ἀξιύμνητε; ἢ τίς σαφῶς ἐξαριθμήσεται, τῶν ἀπείρων σου καμάτων, τὰς θεοπρεπεῖς ἀριστείας; σὺ γὰρ ὡς ἀδάμας καρτερός, ἐν ἀσκήσει ὤφθης, μὴ καμφθεὶς τῆς φύσεως τῇ βίᾳ· ὅθεν ἐν σοὶ ἐπανεπαύσατο, Τριὰς ἡ μεγαλουργός· ἧς τὰς ἐλλάμψεις δεχόμενος, εὐαγγελικῶς ἐν Κρήτῃ, ὡς λύχνος ἀνέλαμψας, καθοδηγῶν, τούς εἰλικρινῶς σοι προσανέχοντας.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.
Ἀνατολίου.

Φωτολαμπὴς ἀστέρων τύπος, προεδείκνυε Σταυρέ, τρόπαιον νίκης εὐσεβεῖ ἄνακτι τῷ πάνυ· οὗ ἡ μήτηρ Ἑλένη ἀνευραμένη, κοσμοφανῆ πεποίηκε· καὶ σὲ σήμερον ἀνυψοῦντες, τῶν πιστῶν αἱ χορεῖαι κραυγάζομεν· φώτισον ἡμᾶς τῇ ἐλλάμψει σου, Σταυρὲ ζωηφόρε· ἁγίασον ἡμᾶς τῇ ἰσχύϊ σου, πανσέβαστε Σταυρέ· καὶ κράτυνον ἡμᾶς τῇ ὑψώσει σου, ὑψούμενος πρὸς παράταξιν ἐχθρῶν.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.
Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις τῶν ἀρετῶν ὁ κανών, θεοχαρίτωτον τοῦ Πνεύματος τέμενος· τὸ ῥόδον τῆς ἀπαθείας, τὸ διαπνέον ἀεί, τῆς δικαιοσύνης τὴν διάδοσιν· ἠθῶν ὁ διδάσκαλος, τῆς ἁγνείας ὁ τρόφιμος, ἡ ζῶσα στήλη, ἡ τὸν νόμον τῆς χάριτος, περιφέρουσα, εἰς ψυχῶν περιποίησιν· ἥλιος ὁ πολύφωτος, ἀγάπης τὴν ἔλλαμψιν, προσεφαπλῶν ὡς ἀκτῖνας, τοῖς ἐν τῷ σκότει καθεύδουσι, παθῶν Ἰωάννη, καὶ φωτίζων τὰς καρδίας, τῶν εὐφημούντων σε.

Στίχ. Τίμιος ἐναντίον Κυρίου...

Χαίροις ὁ τῶν Κρητῶν ἀρωγός, καὶ ἀντιλήπτωρ καὶ κοσμήτωρ καὶ πρόβολος· ὁ κτίτωρ καὶ ποδηγέτης, καὶ ἀῤῥαγὴς βοηθός, Μυριοκεφάλων Μονῆς Ὅσιε· φωνῆς γὰρ ὡς ἤκουσας, οὐρανόθεν καλούσης σε, τῇ ὁδηγίᾳ, τῆς ἁγνῆς Θεομήτορος, ᾠκοδόμησας καὶ λαμπρῶς καθιέρωσας ποίμνην σου τὴν περίβλεπτον, Μητρὶ τοῦ Θεοῦ ἡμῶν, ὡς ἀφθαρσίας λειμῶνα, ἀνθηφοροῦσαν ἑκάστοτε, φωτὸς Ἰωάννη, κληρονόμους καὶ μετόχους, ὡς ἄνθη εὔοσμα.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος...

Ὤφθης ναὸς Θεοῦ εὐπρεπής, οἰκοδομίᾳ ἐναρέτων σου πράξεων, πατὴρ ἡμῶν Ἰωάννη, ἀπὸ παιδὸς τῷ ζυγῷ, τοῦ Σωτῆρος κλίνας τὸν αὐχένα σου· ἐντεῦθεν ἀνήγειρας, καὶ ἐνθέως ἐκόσμησας, ναοὺς παμπόλλους, ἱερῶς θαυμαζόμενος, τῇ τῶν τρόπων σου, Θεοφόρε φαιδρότητι· ὅθεν πρὸς ἐπουράνιον, ναὸν κατεσκήνωσας, καὶ τὸν ναόν σου ταμεῖον, τῶν ἰαμάτων ἀνέδειξας, ἐξ οὗ ἀναβλύζει, τῶν ψυχῶν καὶ τῶν σωμάτων, ῥῶσις ἀέναος.

Δόξα Πατρί. Ἦχος πλ. δ΄.

Ὡς τῆς δόξης ἐραστής, τῆς οὐρανίου Ἰωάννη, τῶν τοῦ κόσμου ἡδέων ἐμφρόνως ἀπέστης· καὶ τῷ θείῳ νόμῳ, τὸ σὸν ὑποτάξας θέλημα, δι᾽ ἄκρας ἐγκρατείας, τῷ Θεῷ εὐηρέστησας· ὅθεν τῶν ἀγώνων σου ἡ λύρα, θεοπνεύστως ἠχήσασα, τοὺς πιστοὺς διήγειρε, πρὸς κοινωνίαν ζωοποιόν, τοῦ δοξάζειν εὐσεβῶς, τὸν δοξάσαντά σε Κύριον, καὶ δωρούμενον διὰ σοῦ, ἡμῖν τὸ μέγα ἔλεος.

www.tezaurliturgic.ro



Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Ἡ φωνὴ τοῦ Προφήτου σου, Μωϋσέως ὁ Θεός, πεπλήρωται ἡ λέγουσα· ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην, ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν. Σήμερον Σταυρὸς ὑψοῦται, καὶ κόσμος ἐκ πλάνης ἠλευθέρωται. Σήμερον τοῦ Χριστοῦ ἡ Ἀνάστασις ἐγκαινίζεται, καὶ τὰ πέρατα τῆς γῆς ἀγάλλεται, ἐν κυμβάλοις δαυϊτικοῖς ὕμνον σοι προσφέροντα, καὶ λέγοντα· εἰργάσω σωτηρίαν ἐν μέσῳ τῆς γῆς ὁ Θεός, Σταυρὸν καὶ τὴν Ἀνάστασιν· δι' ὧν ἡμᾶς ἔσωσας, ἀγαθὲ καὶ φιλάνθρωπε. Παντοδύναμε Κύριε, δόξα σοι.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῶν Κρητῶν τὸν φωστῆρα, Ἐκκλησίας τὸ καύχημα, καὶ τῶν μοναζόντων τὴν στάθμην, Ἰωάννην τιμήσωμεν· Χριστοῦ γὰρ τὸν Σταυρὸν ἀναλαβών, ὡς Ἄγγελος ἐβίωσεν ἐν γῇ· διὰ τοῦτο ἐκ κινδύνων παντοδαπῶν, λυτροῦται τούς κραυγάζοντας· δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Ἕτερον Ὅμοιον.
Εὐαγγέλου Ἱερέως.

Τῆς σοφίας ἐκφάντωρ, Ἀποστόλων ὁμότροπος, πάτερ Ἰωάννη, ἐδείχθης, καὶ ἀσκήσεως ἔσοπτρον. Φιλέρημος ὡς ξένος γεηρῶν, ἐκόσμησας ναῶν τὴν γῆν Κρητῶν· διὰ τοῦτο ᾠκειώθης τοῖς οὐρανοῖς, γενόμενος ἰσάγγελος. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ δείξαντί σε ἐν παντί, μύστην τῆς χάριτος.

Ἕτερον Ὅμοιον.
Ἐκ τῆς παλαιᾶς Ἀκολουθίας τοῦ Ὁσίου.

Τῆς Κρήτης τὸν γόνον, καὶ ἀσκητῶν ἐγκαλλώπισμα, ναῶν παμπόλλων ἱδρυτήν, Ἰωάννην τὸν ὅσιον, τιμήσωμεν ἐν ὕμνοις οἱ πιστοί, βοῶντες πρὸς αὐτὸν χαρμονικῶς· σῷζε πάντας ταῖς λιταῖς σου, τοὺς τὴν μνήμην σου τελοῦντας καὶ βοῶντάς σοι· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Καὶ τῆς Ἑορτῆς. Ὁ αὐτός.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλλάτων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου.

Ὡς ἄστρον φωταυγές, ἀναλάμψας ἐν Κρήτῃ, ἐμείωσας παθῶν, τὴν πικρὰν σκοτοδίνην, καὶ φῶς ἐπιγνώσεως, ἐπαφῆκας μακάριε, τοῖς ποθήσασι, τὴν ὑπερούσιον αἴγλην, τὴν σκηνώσασαν, τῇ καθαρᾷ σου καρδίᾳ, ὁσίων θησαύρισμα.

Δόξα Πατρί. Ὅμοιον.

Τοῖς ἴχνεσι Χριστοῦ, ἀκλινῶς ἐπιβαίνων, ἐξέκλινας σοφέ, τῆς τοῦ κόσμου ἀπάτης, καὶ Ἄγγελος ἐν σώματι, καθωράθης θεόσοφε· ὅθεν γέγονας, τῶν ἀγαθῶν κληρονόμος, ὧν ἡτοίμασεν, ὁ Ἰησοῦς Ἰωάννη, τοῖς τούτῳ λατρεύουσι.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Ὁ δοῦλός σου Σωτήρ, Ἰωάννης ὁ θεῖος, ἐπ' ὤμων ἐκ παιδός, τὸν Σταυρόν σου βαστάσας, τῷ κόσμῳ ἐσταύρωται, καὶ ἐν σοὶ Λόγε ἔζησεν· ὁ γὰρ τίμιος, καὶ ζωηφόρος Σταυρός σου, ταύτας δίδωσι, τὰς ἐνεργείας Οἰκτίρμον, τοῖς τοῦτον ποθήσασι.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Σαρκὸς τὴν ἀσθένειαν, ὑπεριδὼν ἀληθῶς, ψυχῆς τὴν εὐγένειαν, καταφαιδρύνεις σαφῶς, ἀσκήσεως χάρισι· σὺ γὰρ ἐν ταῖς ἐρήμοις, ὡς Ἠλίας ἀσκήσας, θείας φωτοφανείας, Ἰωάννη μετέσχες· καὶ νῦν καταλαμπρύνεις, τοὺς σὲ μακαρίζοντας.

Δόξα Πατρί. Τὸ αὐτό. Καὶ νῦν. Τῆς Ἑορτῆς.

Ὡς στῦλος πυρίμορφος, ὁ τοῦ Κυρίου Σταυρός, ὑψούμενος δείκνυται, καταπυρσεύων τὴν γῆν, ἀΰλοις λαμπρότησιν, ὥνπερ τῇ μετουσίᾳ, λαμπρυνθεὶς τῇ καρδίᾳ, ἤσκησεν ὑπὲρ φύσιν, Ἰωάννης ὁ θεῖος, δοξάζων τὸν ἐν τούτῳ, προσπαγέντα Θεόν.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ἐγκρατείας τοῖς πόνοις δουλαγωγῶν, τὸ δυσήνιον σῶμα οἷα φθαρτόν, τὸν νοῦν σου ἐπτέρωσας, πρὸς τὰ ἄνω βασίλεια, καὶ τὴν ψυχήν σου Πάτερ, Θεῷ καθιέρωσας, πεποικιλμένην ὅλην, τοῖς θείοις σου σκάμμασιν· ὅθεν ὁ Χριστός σε, πρὸς οὐράνιον δόξαν, καλέσας συμμέτοχον, τῆς αὐτοῦ ὡραιότητος, Ἰωάννη σε ἔδειξεν· ὃν πάντοτε δυσώπει σοφέ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι,

www.tezaurliturgic.ro



τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα Πατρί. Καὶ νῦν. Τῆς Ἑορτῆς.

Ἐκ Παρθένου ἐτέχθης δίχα φθορᾶς, καὶ Σταυρῷ προσηλώθης Λόγε ἑκών· ὃν ἄρτι ὑψούμενον, καθορῶντες ὑμνοῦμέν σε, καὶ τοῦτον προσκυνοῦμεν, οἱ σὲ παροργίσαντες, ὡς θρόνον σου οἰκτῖρμον, λαμπρὸν καὶ πολύτιμον. Σὺ γὰρ ὥσπερ ἄναξ, ἐν αὐτῷ ὡς ἐπέβης, Ὁσίων συνήθροισας, πολυώνυμον σύλλογον, μιμουμένων τὸ πάθος σου· ἐν οἷς καὶ διαπρέπει σαφῶς, Ἰωάννης τὸ τῆς Κρήτης βλάστημα, ὁ τελέσας ἀμέμπτως, τὰ σὰ δικαιώματα.

Εἶτα· οἱ Ἀναβαθμοί, ἤτοι τὸ αʹ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δʹ ἤχου καὶ τὸ Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ.

Εὐαγγέλιον, ζήτει τῇ ιζʹ Ἰανουαρίου.

Ὁ Νʹ. Δόξα Πατρί. Ταῖς τοῦ σοῦ Ὁσίου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. βʹ.
Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...

Σήμερον ὁ τῶν θεϊκῶν χαρίτων φερώνυμος, Ἰωάννης ὁ θεῖος, ὁ εἰλικρινῶς τῷ Λόγῳ δουλεύσας, τὸν τῆς ἀσκήσεως τελέσας δρόμον, τὴν πρὸς οὐρανὸν πορείαν ἐποιήσατο· ὅθεν ὁ τῶν ἀγώνων βραβευτής, Χριστὸς ὁ Κύριος, τοῦτον ὑπεδέξατο, προσειπὼν εὐμενῶς· εὖ δοῦλέ μου ἐκλεκτέ, εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου, ἔνθα πάντων ἐστίν, εὐφραινομένων ἡ κατοικία.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα· ὁ Κανὼν τῆς Ἑορτῆς καὶ οἱ Κανόνες τοῦ Ὁσίου. Κανὼν πρῶτος τοῦ Ὁσίου, οὗ ἡ Ἀκροστιχίς· «Τῷ χαριτωνύμῳ Ἰωάννῃ αἶνος. Γερασίμου».

Ὠδὴ αʹ. Ἦχος πλ. δʹ. Σταυρὸν χαράξας.

Ταῖς τῶν χαρίτων αὐγαῖς, ἐκ παιδὸς λαμπρύνας, τὴν σὴν καρδίαν ὅσιε, τὴν κλῆσιν ἐπεσφράγισας, τῶν ἔργων σου τῷ φωτί, δι᾽ οὗ κἀμὲ καταύγασον, ὅπως ὑμνήσω σου, τὸν βίον Ἰωάννη, τὸν λαμπρὸν καὶ φωσφόρον, ὃν ὁ Χριστὸς θαύμασι, δαψιλεῖ χορηγίᾳ ἐκόσμησεν.

Ὡς κλάδος θεοτερπής, ἐξ εὐώδους ῥίζης, ἀνθοφορήσας Ὅσιε, σαφῶς ἐκαρποφόρησας, ἀσκήσεως τοὺς καρπούς, ὥσπερ φοῖνιξ ἔνθεος, ἐκτρέφων πάντοτε, ἡμῶν τὰς διανοίας, τῶν τελούντων προφρόνως, τὴν ἱερὰν μνήμην σου, τὴν πληροῦσαν χαρᾶς τοὺς τιμῶντάς σε.

Χαίρων εἰσέδυς Χριστοῦ, τῷ ζυγῷ ἐκ βρέφους, ὥσπερ ὁ μέγας Πρόδρομος, οὗ μιμητὴς γεγένησαι, ὁμωνυμήσας αὐτῷ, ἐκ θείας προγνώσεως· σὺ γὰρ κατέλιπες, γονέων τὴν ἑστίαν, καὶ ἐν ὄρει σκηνώσας, φωτοειδὴς πέφηνας, ἀνενδότως Θεῷ προσκολλώμενος.

Θεοτοκίον.

Ἀγγελικῶς ἐπὶ γῆς, Θεομῆτορ Κόρη, ὁ εὐκλεὴς θεράπων σου, ἐνθέως βιωσάμενος, δοχεῖον πανευπρεπές, τῆς Τριάδος γέγονε, καὶ σοὶ ἐδείματο, ἐν Μυριοκεφάλοις, περιώνυμον οἶκον, χρηματισθεὶς ἄνωθεν, ὥσπερ δοῦλος Χριστοῦ ἀκριβέστατος.

Κανὼν δεύτερος τοῦ Ἁγίου· οὗ ἡ Ἀκροστιχίς, «Κρητῶν εὐφημῶ Ἰωάννην τὸ κλέος. Γερασίμου».

Ἦχος ὁ αὐτός. Ὑγρὰν διοδεύσας.

Καθάρας τὸν νοῦν μου ὡς ἀγαθός, τῆς σῆς προμηθείας, Ζωοδότα ταῖς ἀστραπαῖς, τὰ χείλη μου τράνωσον πρὸς ὕμνον, τοῦ σὲ δοξάσαντος Λόγε Ὁσίου σου.

Ῥεόντων τὸν τάραχον ἐκφυγών, προσώρμισας Πάτερ, ἐν λιμένι τῷ γαληνῷ· ἐντεῦθεν Κυρίῳ ἀνακράζεις, τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Ἡ ἄμεμπτος Πάτερ σου βιοτή, τῆς δικαιοσύνης, φυτοκόμον σε ἀκραιφνῆ, ἐν Κρήτῃ ἀνέδειξε βοῶντα, τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Θεοτοκίον.

Τὴν ἄστεκτον φύσιν ἐν σῇ γαστρί, χωρήσασα Κόρη, ἐσωμάτωσας ὑπὲρ νοῦν, τὸν Λόγον Πατρὸς τοῦ προανάρχου, ἐπὶ καινίσει βροτείου φυράματος.

Καταβασία. Σταυρὸν χαράξας.

Κανὼν Πρῶτος. Ὠδὴ γʹ. Ῥάβδος εἰς τύπον.

Ῥάβδῳ τῆς θείας δυνάμεως στηριζόμενος, τῆς κοσμικῆς ἀπεμάκρυνας συναφείας, καὶ ὑπερκόσμιον ὥδευσας πολιτείαν· ὅθεν γέγονας, τύπος ἠθῶν, μοναστῶν ἑδραίωμα.

Ἰλὺν παθῶν ἐκτινάξας ἐκ τῆς καρδίας σου, κατηξιώθης ἀκοῦσαι φωνῆς ἐνθέου, ᾗ πειθαρχήσας τοῖς Ἱεράρχαις, συγγόνοις Ὅσιε, θεῖον ναόν, ἐν τῷ

www.tezaurliturgic.ro



σπηλαίῳ ἤγειρας.

Τὸν τῆς ἡμέρας ὑπέμεινας Πάτερ καύσωνα· τοῦ θείου φίλτρου τὴν φλόγα γὰρ ἔνδον εἶχες, δι᾽ ἧς χειμῶνος τὴν ῥύμην στεῤῥῶς ἐνέγκας, ἐθάλφθης ἄνωθεν, ἐπισκοπῇ, τῆς ἀστραψάσης χάριτος.

Θεοτοκίον.

Ὡραιωθεῖσα Παρθένε ὑπὲρ κατάληψιν, τὸν ὡραιότατον Λόγον τίκτεις ἀσπόρως, τὸν ὡραΐσαντα θείαις ἀγλαΐαις τὸν εἰς θάνατον, γεύσει πικρᾷ, Ἀδὰμ κατολισθήσαντα.

Κανὼν δεύτερος. Σὺ εἶ τὸ στερέωμα.

Ὤκησας τὸ σπήλαιον, ὡς φωτεινὸν Πάτερ θάλαμον, ἔνθα φωνῆς, θείας ἀνεδείχθης, πληρωτὴς ἀληθέστατος.

Νέκρωσιν ἐπόθησας, ζωῆς ἀλήκτου τὴν πρόξενον, καὶ μιμητὴς ὤφθης Ἰωάννη, τοῦ τὸν ὄφιν νεκρώσαντος.

Ἔλαμψε φῶς θεῖόν σοι, ἐπὶ τοῦ ὄρους μακάριε, φωταγωγοῦν, τοὺς σοὺς πηρωθέντας, ὀφθαλμούς ὑπὲρ ἔννοιαν.

Θεοτοκίον.

Ὕμνησε τὴν δόξαν σου, ὁ Ἰωάννης ὁ ὅσιος, ὅτε Μονήν, θείαν σοι Παρθένε, εὐλαβῶς ἐδομήσατο.

Καταβασία. Ῥάβδος εἰς τύπον

Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τὴν ψυχήν σου δοχεῖον, τοῦ Θείου Πνεύματος, τῶν παθῶν τῇ νεκρώσει, ἀπεργασάμενος, τῆς ἐγκρατείας φυτουργὸς θεοειδέστατος, καὶ τῆς ἀγάπης τῆς διπλῆς, λύχνος ἐφάνης φαεινός, πατὴρ ἡμῶν Ἰωάννη, διαπαντὸς καταυγάζων, τοὺς ὀρθοδόξως εὐφημοῦντάς σε.

Δόξα Πατρί. Καὶ νῦν. Τῆς Ἑορτῆς.

Τὸν Σταυρὸν τὸν πανάγιον προσκυνήσωμεν, ὡς ὑποπόδιον θεῖον τοῦ Βασιλέως Χριστοῦ· ἐκ τῶν λαγόνων γὰρ τῆς γῆς λαμπρῶς ἀνέτειλε, καὶ τὰς ψυχὰς τῶν εὐσεβῶν, καταφωτίζει μυστικῶς, τῶν πίστει αὐτὸν ὑψούντων, ἐν ᾧ σαρκὶ προσεπάγη, ὁ τῇ Θεότητι ἀπρόσιτος.

Κανὼν πρῶτος. Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Νόμῳ θείῳ ἑπόμενος, νομοθέτης ὤφθης ἐν Κρήτῃ ἄριστος, μοναστῶν ἐφεπομένων σοι, καὶ ἐκμιμουμένων τούς ἀγῶνάς σου.

Ὑφαπτόμενος ἔρωτι, θείας ἀγαπήσεως χαριτώνυμε, σταλαγμοῖς δακρύων ἔσβεσας, τῶν παθῶν τὴν φλόγα τὴν ἀκάθεκτον.

Μοναστῶν θεῖον κάτοπτρον, καὶ ἡσυχαστῶν κανὼν ἀπλανέστατος, ὁ σὸς βίος Πάτερ γέγονεν, ἀρετῶν ἰδέαις σεμνυνόμενος.

Θεοτοκίον.

Ὡς αὐτήκοος Δέσποινα, ὁ σὸς Ἰωάννης φωνῆς τῆς ἄνωθεν, μονὴν θείαν σοι ἀνέθετο, εἰς ψυχῶν Παρθένε περιποίησιν.

Κανὼν δεύτερος. Ἐξ ὄρους κατασκίου.

Φίλος ἀληθής, τοῦ Λόγου ἀνεδείχθης, πᾶσαν σαρκικήν, φιλίαν ἀποῤῥίψας· ὅθεν τῆς τούτου τραπέζης συνεστιάτωρ, ὡς ἡ ὑπόσχεσις γεγένησαι.

Ἤρθης ἐμφανῶς, πρὸς ὕψος ἀπαθείας, διὰ πρακτικῆς, θεόφρον θεωρίας, καὶ ἰαμάτων ἐδέξω τὰς ἐνεργείας, ἐκ τῆς πηγῆς τῆς φωτοδότιδος.

Μένων ἀκλινής, ἐν ὥρᾳ τοῦ χειμῶνος, πήρωσιν δεινήν, ὑπέστης τῶν ὀμμάτων, ἀλλ᾽ ἐπιπνοίᾳ τῇ κρείττονι ἐφωτίσθης, πρὸς φωτισμὸν τῶν πειθομένων σοι.

Ὤφθης μιμητής, τῶν θείων Ἀποστόλων, τούτων ἐν ψυχῇ, τὸν ζῆλον περιφέρων· ὅθεν τὴν Κρήτην διέδραμες διὰ βίου, ψυχῶν ρυθμίζων τὴν κατάστασιν.

Θεοτοκίον.

Ἴαμα γενοῦ, ψυχῇ μου τῇ νοσούσῃ, τῇ ἐπιφορᾷ, παθῶν τῶν ἀκαθάρτων, τοῦ σώματός μου τοὺς πόνους καὶ τὰς ὀδύνας, Θεογεννῆτορ ἐξοικίζουσα.

Καταβασία. Εἰσακήκοα Κύριε.

Κανὼν πρῶτος. Ὠδὴ ε΄. Ὢ τρισμακάριστον ξύλον.

Ἰδὼν τὸ ἄδυτον φέγγος, τοῖς ὀφθαλμοῖς τοῦ νοός, ὡς Μωϋσῆς δεδόξασαι· ἐκ νυκτὸς γὰρ ἐγκρατείας ἐπορθρίσας, τῷ Ἡλίῳ τῆς ζωῆς, ἐπλήσθης οὐρανίου φωτός, καὶ κατηύγασας, τούς ἐκ πόθου εὐφημοῦντάς σε.

Ὡραιωθεὶς τῇ καρδίᾳ, ἀσκητικαῖς ἀγωγαῖς, καὶ θείαις ἀναβάσεσι, τῷ ὡραίῳ παρὰ πάντας τοὺς ἀνθρώπους, Χριστῷ τῷ βασιλεῖ, εὐάρεστος ἐφάνης σοφέ, τῷ παρέχοντι τὴν εἰρήνην τοῖς τιμῶσί σε.

www.tezaurliturgic.ro



Ἀπ' ἄκρου Πάτερ, εἰς ἄκρον διαδραμὼν εὐσεβῶς, τὴν θρεψαμένην Κρήτην σε, κατεκόσμησας αὐτὴν ναοῖς πανσέπτοις, καὶ παρέστησας σαυτόν, ἀληθείας πρακτικὸν ὁδηγόν, καὶ ὑπόδειγμα ἐναρέτου πολιτεύματος.

Θεοτοκίον.

Νενεκρωμένον τὸν νοῦν μου, τῇ τῶν παθῶν ἐμμονῇ, Θεογεννῆτορ ζώωσον· σὺ γὰρ ἔτεκες ζωὴν τὴν αἰωνίαν, τὴν ζώωσασαν Ἁγνή, τὴν φύσιν νεκρωθεῖσαν ἡμῶν, καὶ νεκρώσασαν, τὸν εἰσάξαντα τὸν θάνατον.

Κανὼν δεύτερος. Ἵνα τί με ἀπώσω.

Ὡς θυσίαν εὐώδη, καὶ ὀσμὴν εὐπρόσδεκτον Πάτερ προσέφερες, τῷ ὑπὲρ τοῦ κόσμου, ἑκουσίως τυθέντι Θεῷ ἡμῶν, τοὺς ἀπείρους μόχθους, τῆς ἐναρέτου βιοτῆς σου, καὶ τὰ ῥεῖθρα τῶν θείων ἱδρώτων σου.

Ἀνελθὼν ἐν τῇ Ῥάξῳ, πρὸς ὄρη αἰώνια τὸν νοῦν σου ὕψωσας· ὅθεν ἠξιώθης, θεϊκῆς ἀληθῶς ἐπισκέψεως, καὶ ναὸν ἐγείρεις, τοῖς αὐταδέλφοις Ἱεράρχαις, Ἰωάννη Πατέρων ἀγλάϊσμα.

Νίκων ἄλλος ἐφάνης, ζήλῳ πυρακτούμενος τῷ θείῳ Ὅσιε, καὶ τῆς σωτηρίας, τῶν πολλῶν ἐκ ψυχῆς προμηθούμενος· σὺ γὰρ περιῆλθες, πόλεις τῆς Κρήτης καὶ χωρία, κατασπείρων τὸν λόγον τῆς χάριτος.

Θεοτοκίον.

Νὺξ παθῶν με συνέχει, ἁμαρτίας θάλασσα περιταράττει με, καὶ ποῦ καταφύγω; εἰ μὴ Κόρη τῇ θείᾳ πρεσβείᾳ σου· σὺ οὖν βράβευσόν μοι, τῆς μετανοίας τὴν αἰθρίαν, πρὸς λιμένα χαρᾶς ὁδηγοῦσά με.

Καταβασία. Ὦ τρισμακάριστον ξύλον.

Κανὼν πρῶτος. Ὠδὴ στ΄. Νοτίου θηρός.

Νάματα θεῖα ἀντλήσας, ἐκ φρέατος ζωῆς, τῶν θεοσδότων δωρημάτων, ἀναβλύζεις τὸ ὕδωρ, ὡς ποταμὸς λογικός· ἔνθεν ἀρδεύεις δαψιλῶς, τῆς Ἐκκλησίας Ἰωάννη τὴν εὐπρέπειαν, καὶ καθαίρεις τοὺς ῥύπους, τῶν ψυχικῶν μολυσμῶν, καὶ τῶν σωμάτων τὰ ἕλκη, ἐκπλύνεις ἑκάστοτε.

Ἡγίασέ σε ὁ Λόγος, ὁ ὢν σὺν τῷ Πατρί, καὶ ἐν Ἁγίοις Ἰωάννη, ἀναπαυόμενος ὄντως, σὺν Πνεύματι τῷ συμφυεῖ· ἐκ γὰρ ὀνύχων ἁπαλῶν, ἁγιωσύνην ἐνεδύσω καὶ ἀπάθειαν, ἐπιῤῥαίνων ἀπαύστως, ἁγιασμὸν ἀληθῆ, δι' οὗ καθαγιάζεις, τὰς φρένας τῶν δούλων σου.

Ἀποῤῥαπίσας τὸν ὄφιν, φθορᾶς τὸν εὑρετήν, δι' ἀνενδότου ἐγκρατείας, καὶ νηστείας συντόνου, καὶ ἡσυχίας πολλῆς, τὴν ἀδιάῤῥευστον τρυφήν, ὡς κληρουχίαν ἀκατάλυτον κεκλήρωσαι, ἐν ᾗ ἐδρέψω τὸ κάλλος, τοῦ ξύλου τοῦ ζωοποιοῦ, ἀπολαύων ἀμέσως, τῆς δόξης τοῦ Κτίσαντος.

Θεοτοκίον.

Ἱερωτάτη χορεία, τῶν θείων Προφητῶν, προδιαγράφει σε Παρθένε, ἐν συμβόλοις καὶ τύποις, οἷα Μητέρα Θεοῦ· σὺ γὰρ ἐκύησας ἡμῖν, τὸν πρὸ αἰώνων ἐκ Πατρὸς ἀνατείλαντα, καὶ ἐπ' ἐσχάτων τῶν χρόνων σωματωθέντα ἐκ σοῦ, καὶ εὐφροσύνης τὰ πάντα, ἐνθέου πληρώσαντα.

Κανὼν δεύτερος. Ἱλάσθητί μοι Σωτήρ.

Ἡ Κρήτη περιφανῶς, ἁγιασθεῖσα τοῖς πόνοις σου, περίβλεπτος ἀληθῶς, ἐν νήσοις γεγένηται, καὶ τὴν θείαν μνήμην σου, πόθῳ ἑορτάζει, Ἰωάννη παμμακάριστε.

Ναὸς ὑπάρχων Θεοῦ, διαπρεπὴς καὶ πολύφωτος, ναοὺς ἐγείρεις αὐτῷ, πανταχοῦ μακάριε, ἐν οἷς καὶ συνήθροισας, μοναστῶν ἀγέλας, ὡς ἀλείπτης τούτων ἔνθεος.

Τοῦ κόσμου τὴν ἁλμυράν, καταλιπὼν Πάτερ θάλασσαν, καὶ γλυκασμὸν τῆς ζωῆς, πηγὴν ὡς ἀθάνατον, ἐξέπιες Ὅσιε, ἰαμάτων δρόσον, ἐπομβρίζων τοῖς τιμῶσί σε.

Θεοτοκίον.

Ὁ κόσμον τὸν ὁρατόν, καὶ τὸν ἀόρατον νεύματι, καθυποστήσας Ἁγνή, ἐκ σοῦ σεσωμάτωται, καὶ κόσμον καινότατον, δείκνυσί σε Κόρη, τῆς αὐτοῦ ἐνανθρωπήσεως.

Καταβασία. Νοτίου θηρὸς ἐν σπλάγχνοις.

Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἐν τῇ Κρήτῃ ἔλαμψας, ὡς ἑωσφόρος, Ἰωάννη ὅσιε, καταφωτίζων ἱερῶς, ταῖς ἐναρέτοις σου πράξεσι, τοὺς ἀδιστάκτῳ ψυχῇ προσιόντάς σοι.

Ὁ Οἶκος.

Τῆς χάριτος ἐμμελέστατον ὄργανον, ὡς ἐπώνυμος ταύτης καὶ σύγκληρος, ἐκ νεότητος Ἰωάννη ἀναδέδειξαι· τίς οὖν ἐγκωμιάσει τῆς οὐρανίου πολιτείας σου τὰς ἀναβάσεις; Σὺ γὰρ τὴν χαμαιπετῆ τῶν ῥεόντων σχέσιν ὑπεριδών, ἡνώθης δι' ὁλοκλή-

www.tezaurliturgic.ro



ρου ἀπαθείας τῷ φάσκοντι· Ὅστις οὐ βαστάζει τὸν σταυρὸν ἑαυτοῦ καὶ ἔρχεται ὀπίσω μου, οὐ δύναται εἶναί μου μαθητής. Τούτου γοῦν μαθητὴς ἀναφανείς, πᾶσαν τὴν Κρήτην περικαλλέσι ναοῖς κατακαλλύνεις, καὶ ὡς ἀείφωτος λαμπτὴρ καταφωτίζεις, τούς ἀδιστάκτῳ ψυχῇ προσιόντάς σοι.

### Μηνολόγιον.

Τῇ Κ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Κὺρ Ἰωάννου, τοῦ ἐν τῇ νήσῳ τῶν Κρητῶν ἀσκητικῶς διαλάμψαντος.

### Στίχοι.

Χάριτος φωτὶ αὐγασθεὶς Ἰωάννη
Αἴγλην ἀγαθῶν ἐν Κρήτῃ διαυγάζεις.

Βῆ ἐς πόλοιο Ἰωάννης εἰκάδι δώματα λαμπρά.

### Ἕτεροι· Εὐαγγέλου ἱερέως.

Ξένος τρυφῶν φθαρτῶν, ὦ Ἰωάννη,
ἐβίωσας ὡς ξένος ἐν τῷ κόσμῳ·
πόθῳ δ᾽ ἀφεὶς τὸ ἄστατον τοῦ βίου,
τὸν Ἑστῶτα εὗρες ἀεὶ ἐν πόλῳ.

### Συναξάριον. Ὑπὸ τοῦ αὐτοῦ.

Οὗτος ὁ Ὅσιος Πατὴρ ἡμῶν Ἰωάννης, ὁ ἐπιλεγόμενος Ξένος ἢ Ἅι-Κὺρ Γιάννης, ὡς μανθάνομεν ἐκ τῆς Διαθήκης καὶ τοῦ παραπεφρασμένου βίου αὐτοῦ, ἐγεννήθη ἐκ γονέων εὐσεβῶν καὶ πλουσίων εἰς τὸ παρὰ τὴν ἀρχαίαν πόλιν Φαιστόν εὑρισκόμενον χωρίον Σίβας, τῆς ἐπαρχίας Πυργιωτίσσης, τοῦ νομοῦ Ἡρακλείου, περὶ τὸ ἔτος 970 μ.Χ..

Ἐκ νεαρᾶς ἡλικίας ἠγάπησε τὸν Χριστὸν καὶ ἀφιέρωσεν ἑαυτὸν εἰς τὴν μοναστικὴν ζωὴν καὶ τὴν ἄσκησιν, δράσας ἱεραποστολικῶς ἐν τῇ περιοχῇ τῆς γενετείρας του κατ᾽ ἀρχὰς καὶ εἶτα ἐν τῇ κεντρικῇ καὶ δυτικῇ Κρήτῃ, ὅπου καθ᾽ ὅλον τὸ μῆκος καὶ πλάτος τῆς κοπιώδους αὐτοῦ περιοδείας, ᾠκοδόμησε πλῆθος ἱερῶν καθιδρυμάτων, ἐν οἷς καὶ τὴν τῶν Μυριοκεφάλων ἱερὰν σταυροπηγιακὴν Μονὴν τῆς Ὑπεραγίας Θεοτόκου τῆς Ἀντιφωνητρίας. Τὰ ἱερὰ ταῦτα καθιδρύματα, ἱερῶν μονῶν καὶ ναϋδρίων, ἀπετέλεσαν τὰ βασικὰ ὁρμητήρια τῆς λαμπρᾶς τοῦ Ὁσίου ἱεραποστολικῆς διακονίας καὶ ἐθναποστολικῆς δράσεως. Τὰ πλεῖστα δὲ τούτων ἀναγράφονται καὶ περιγράφονται εἴς τε τὸ ἀρχαῖον καὶ δημῶδες κείμενον τῆς Διαθήκης αὐτοῦ.

Αὕτη δὲ ἡ καθόλου δραστηριότης τοῦ Ὁσίου ἑρμηνεύεται ἐκ τῆς τότε θρησκευτικῆς καὶ ἐθνικῆς καταστάσεως τῆς Κρήτης, ὅτε, ἐπανακτηθείσης τῆς νήσου ὑπὸ τοῦ Νικηφόρου τοῦ Φωκᾶ, ἐκ τῆς τῶν Ἀράβων κυριαρχίας, ἥτις, ὡς ἦτο φυσικόν, ἐπέφερε χαλάρωσιν εἰς τὴν πίστιν, καὶ φθοράν εἰς τούς ὑπάρχοντας ἱερούς ναούς καὶ στασιμότητα εἰς τὴν ἀνοικοδόμησιν νέων, ὑπῆρχεν ἄμεσος ἡ ἀνάγκη στηρίξεως καὶ ἐπανευαγγελισμοῦ τῶν κατοίκων.

Τότε, θείᾳ προνοίᾳ, ἡ ἀναβλάστησις τῆς Ὀρθοδόξου πίστεως καὶ ζωῆς εἰς τὴν μεγαλόνησον ἀνετέθη εἰς δύο ἄνδρας: Νίκωνα τὸν ἐπικληθέντα *Μετανοεῖτε*, ἐκ Πόντου, καὶ Ἀθανάσιον, τὸν ἐπονομασθέντα *Ἀθωνίτην*, ἐκ Τραπεζοῦντος. Προσετέθη δέ, ὀλίγον ἀργότερον, εἰς αὐτούς καὶ ὁ ἐντόπιος Ἰωάννης ὁ Ξένος, ὅστις προσέλαβε τὴν ἐπωνυμίαν αὐτοῦ, ἀφ᾽ ἑνὸς μὲν ἐκ τῶν κατοίκων τῶν δυτικῶν ἐπαρχιῶν τῆς Κρήτης, ἔνθα, κυρίως, ὡς εἴπομεν ἀνωτέρω, ἔδρασε, καὶ ἀφ᾽ ἑτέρου καθ᾽ ὅτι ὁ ἴδιος ὠνόμαζεν ἑαυτὸν *Ξένον*, ὡς βλέπομεν εἰς τὴν βιογραφίαν αὐτοῦ: *«...κἀγὼ ὁ εὐτελὴς μοναχὸς καὶ Ξένος τῇ ἐπωνυμίᾳ...»*, ἀλλὰ καὶ ἐκ τῆς συνηθείας αὐτοῦ πορευομένου ἀπὸ τόπου εἰς τόπον, ἐρειδομένης ἐπὶ τῆς βεβαιότητος τῆς πίστεως, ὅτι *«πάροικοι»* καὶ *«παρεπίδημοι»* καὶ *«ξένοι» ἐσμὲν πάντες ἐπὶ τῆς γῆς*, κατὰ τὸν Ἀπόστολον (πρβλ.: Ἑβρ. 11.13, Ἐφ. 2.1 κ. ἄ.).

Ἐκ τῶν τριῶν τούτων Θεοφόρων Πατέρων, ὁ μὲν Ἅγιος Ἀθανάσιος ὀλίγον παρέμεινεν ἐν τῇ νήσῳ καὶ εἶτα, ἀποσυρθεὶς εἰς τὸ Ἅγιον Ὄρος, ἵδρυσεν ἐκεῖ τὴν ἱερὰν Μονὴν τῆς Μεγίστης Λαύρας, ὁ δὲ Ἅγιος Νίκων, ὕστερον ἀπὸ ἑπταετῆ δρᾶσιν, ἐν τῇ κεντρικῇ καὶ ἀνατολικῇ Κρήτῃ, ἀνεχώρησεν εἰς τὴν Λακωνίαν, ὅπου καὶ ἐσυνέχισεν τὴν εὐδόκιμον ἱεραποστολικὴν καὶ κοινωνικήν αὐτοῦ διακονίαν. Μόνον δὲ ὁ Ἅγιος Ἰωάννης παρέμεινεν ἐν τῇ νήσῳ, μέχρι τῆς ἡμέρας τῆς πρὸς Κύριον ἐκδημίας αὐτοῦ, ἐπισυμβάσης εἰς τὴν Ἀκτὴν (Μεσόγεια) Κισσάμου, παρὰ τὴν ἀρχαίαν πόλιν Φαλάσαρνα, ἔνθα καὶ συνέταξε τὴν Διαθήκην αὐτοῦ, δι᾽ ἧς παρεχώρει ἅπαντα τὰ ὑπ᾽ αὐτοῦ ἀνεγερθέντα ἱερὰ καθιδρύματα εἰς τὴν ἱερὰν Μονὴν τῶν Μυριοκεφάλων.

Ἐντὸς σπηλαίου, παρὰ τὸ σημερινὸν χωρίον *Καβούσι Κισσάμου* ὑπάρχει δίκλιτος παλαιὸς ναός, τιμώμενος ἐπ᾽ ὀνόματι τῶν τῇ αὐτῇ ἡμέρᾳ ἑορταζομένων Ἁγίων Εὐσταθίου τοῦ Μεγαλομάρτυρος καὶ τῶν σὺν αὐτῷ, ἔνθα ἐξωτερικῶς καὶ ἐνσωματωμένος, εἰς τὴν βορείαν πλευρὰν τοῦ ναοῦ, εὑρίσκεται τάφος, εἰς τὸν ὁποῖον, κατὰ τὴν παράδοσιν, ἐτάφη ὁ Ἅι-Κὺρ Γιάννης, τουτέστιν ὁ Ὅσιος Ἰωάννης ὁ Ξένος. Κατὰ δὲ τὴν ἰδίαν παράδοσιν, εἰς τὸν ναὸν τοῦτον ἐφυλάσσετο ἡ τιμία κάρα τοῦ Ὁσίου, εὑρισκομένη σήμερον εἰς τὸν ὁμώνυμον τῷ Ἁγίῳ ἱερὸν ναὸν τοῦ χωρίου Τσουρουνιανὰ Κισσάμου.

Ὁ Ὅσιος Πατὴρ ἡμῶν Ἰωάννης, καίτοι ἄνθρωπος τοῦ αὐστηροῦ ἀσκητικοῦ βίου, τῆς ἱεραποστολικῆς δράσεως καὶ τοῦ πλουσίου κτηριολογικοῦ ἔργου, συνεδύαζε τὰ χαρίσματα ταῦτα μετὰ τῆς δεούσης χριστιανικῆς φιλοσοφίας καὶ γνώσεως. Δὲν ἦτο μόνον μεθοδικὸς καὶ πρακτικός, ἀλλὰ καὶ λόγιος, συγγράψας ὁμιλίας εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον, πιθανῶς δὲ ἦτο καὶ ὑμνογράφος καὶ μεταφραστὴς ἔργων τοῦ Ἀριστοτέλους. Διὸ καὶ ἐγκωμιάζεται παρὰ τῶν ἱερῶν ὑμνογράφων: «σοφός, πάνσοφος, μέγας φωστήρ», «θεοφόρος, νουνεχής, ἐμπειρότατος, φιλέρημος, ἀσκητῶν κλέος, ὁσίων καύχημα, Κρήτης τὸ καύχημα» κ.λ.π. Δι᾽ ὅλων δὲ αὐτῶν τῶν ἀρετῶν «εἰς ὕψος ἀναδραμὼν καὶ τὴν γνῶσιν τῶν ὄντων

www.tezaurliturgic.ro



καταμαθών...», «τὴν Κρήτην ἐνέπλησε ναῶν ἁγίων» καὶ κατεκόσμησεν.

Οὕτως διανύσας τὸν βίον αὐτοῦ ὁ Ὁσιώτατος Πατὴρ ἡμῶν Ἰωάννης ὁ Ξένος ἐν σοφίᾳ, ἱεραπόστολος καὶ ἐθναπόστολος μέγας γενόμενος, ὁ Ἅγιος οὗτος τῆς μεσαιωνικῆς Κρήτης, παρέδωκε τὴν ἁγίαν αὐτοῦ ψυχὴν εἰς τὸν Κύριον, τὴν κ΄ (20ὴν) Σεπτεμβρίου τοῦ ἔτους ͵ακζ΄ (1027), ἡμέραν καθ' ἣν συνέταξε τὴν Διαθήκην αὐτοῦ, κατὰ τὴν παράδοσιν.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Κανὼν πρῶτος. Ὠδὴ ζ΄. Ἔκνοον πρόσταγμα.

Νεύματι Ὅσιε ὑπείκων θεϊκῷ, σοφῶς ἐξένευσας, ὥσπερ νουνεχής, τῆς προσπαθείας τῆς κοσμικῆς· τὸν γὰρ σταυρόν σου ἀναλαβόμενος, ἰχνῶν ἐπελάβου, Χριστοῦ ἔνδοξε· καὶ καθαρθεὶς τὰς ψυχικὰς αἰσθήσεις σου, ψάλλεις τῷ σὲ δοξάσαντι· Ὁ ὑπερύμνητος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὄμβροις δακρύων σου παθῶν πυρκαϊάν, εἰς τέλος ἔσβεσας, καὶ ἧψας ἐν ψυχῇ, τὸ τῆς ἀγάπης ἄϋλον πῦρ, δι' οὗ πταισμάτων φλέγεις τὴν ἄκανθαν, καὶ ὑπεμφαίνεις ζωῆς τὴν ἔλαμψιν, τοῖς ἐν νυκτὶ τῶν μοχθηρῶν δεινῶς καθεύδουσι, μεθ' ὧν καὶ ἀνεκραύγαζες· Ὁ ὑπερύμνητος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Σκήνωμα ἔνθεον Τριάδος τῆς σεπτῆς, σαυτὸν ἀνέδειξας, δι' ἔργων εὐσεβῶν, καὶ θεωρίας τε πρακτικῆς· ὅθεν ἐδείμω ἐν πλείστοις μέρεσιν, εἰς θείαν αἴνεσιν ναοὺς Ὅσιε, ὀρθοδοξίας φωτοφόρον ἴνδαλμα, δεικνύμενος τοῖς ψάλλουσιν· Ὁ ὑπερύμνητος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Γέφυρα ἄϋλος ἐδείχθης Μαριάμ, φρικτῶς γεννήσασα, τὸν ἐκ τῆς φθορᾶς, ἀναγαγόντα τούς γηγενεῖς· ὃν ἐκδυσώπει Θεομακάριστε, ἁμαρτιῶν μου πικρὰν ἄβυσσον, ἀποξηρᾶναι καὶ ὀμβρῆσαί μοι ἄφεσιν, ἵνα πιστῶς κραυγάζω σοι· ἡ πολυύμνητος, καὶ καλὴ ἐν γυναιξί, χαῖρε εἰς τούς αἰῶνας.

Κανὼν δεύτερος. Παῖδες Ἑβραίων.

Κόσμου λιπὼν τὴν εὐκληρίαν, ὑπερκόσμιον ἐδέξω κοινωνίαν, Ἰωάννη σοφέ, βοῶν σύν Ἀσωμάτοις· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τούς αἰῶνας.

Λάμπων ἀκτῖσιν ἀπαθείας, παραγέγονας πρὸς πόλιν βασιλίδα, ὥσπερ στῦλος πυρός, φωτίζων τοὺς βοῶντας· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ἔδραμες ἅπασαν τὴν Κρήτην ὡς Ἀπόστολος τοῦ σὲ ἐκλεξαμένου, ὑποθήκην ζωῆς, οἷα τρυφῆς χειμάῤῥουν, βλυστάνων τοῖς κραυγάζουσι· Ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὅλος τῷ φέγγει τῆς ἀγάπης, ἐλλαμπόμενος, τὴν τοῦ πλησίον Πάτερ, σωτηρίαν ποθῶν, ὑπὲρ τῶν ἀδελφῶν σου, πόνους καὶ μόχθους ἤνεγκας, διατρέχων πᾶσαν πόλιν.

Θεοτοκίον.

Στέλεχος ὤφθης ἀφθαρσίας, ἐξανθήσασα ἀγεωργήτως Κόρη, τὸ φυτὸν τῆς ζωῆς, ὀσμὴν ἀθανασίας, δωρούμενον τοῖς μέλπουσι· χαῖρε Κεχαριτωμένη.

Καταβασία. Ἔκνοον πρόσταγμα.

Κανὼν πρῶτος. Ὠδὴ η΄. Εὐλογεῖτε Παῖδες.

Ἐκ τῆς Κρήτης Πάτερ, ὥσπερ φῶς ἐπεδήμησας, πρὸς τὴν Βυζαντίδα καταλαμπρύνων, τῷ φωτοειδεῖ σου βίῳ τοὺς σὲ δεξαμένους ὡς θεῖον Ἄγγελον· σὺ γὰρ τὴν τῶν Ἀγγέλων, ὑπελθὼν πολιτείαν, δόξαν ἀγγελικὴν ἐναπεδρέψω.

Ῥώσεως τὸν ὄμβρον, ὡς νεφέλη οὐράνιος, ἡ σὴ σεβασμία κάρα ὀμβρίζει καὶ ἐπιῤῥωνύει Πάτερ, ψυχῶν δυνάμεις πρὸς βίον ἔνθεον, ὅνπερ διανύσαι ἐν ἀληθείᾳ, ἱκάνωσον τοὺς σὲ ὑμνολογοῦντας.

Ἀποκλίνων Πάτερ, κοσμικῆς πάσης σχέσεως, καὶ τὴν φθειρομένην δόξαν ἐκφεύγων, ἐκ τῶν σῶν φροντιστηρίων ἀπεχώρεις ἐν ἐρήμοις σκηνούμενος, ἐξ ὧν φανερούμενος αὖθις ὡς ἐξ ἀδύτων, πολλοὺς καθωδήγεις πρὸς σωτηρίαν.

Θεοτοκίον.

Σὲ τὴν θείαν στάμνον, τὴν τὸ μάννα χωρήσασαν, τὸ ζωοποιῆσαν τοὺς τεθνεῶτας, ἀνυμνοῦμεν ἐκβοῶντες, τὴν τοῦ Ἀρχαγγέλου φωνὴν χαρμόσυνον· χαῖρε Κεχαριτωμένη ἡ τετοκυῖα, δόξαν ἐπουράνιον τοῖς ἐπιγείοις.

Κανὼν δεύτερος. Μουσικῶν ὀργάνων.

Γνωμικῆς ῥυσθεὶς δεινοπαθείας, φυσικῆς ὑψώθης προσπαθείας καὶ γέγονας ὑπερφυοῦς, δυνάμεως ταμεῖον, τὸν Κύριον κραυγάζων, λαοὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

www.tezaurliturgic.ro



Εὐωδία ὤφθης κατὰ Παῦλον, τοῦ Χριστοῦ καθάρας Ἰωάννη, ἀπὸ παντὸς μολυσμοῦ, ψυχήν τε καὶ τὸ σῶμα· ὅθεν κατευφραίνεις, ἡμᾶς ταῖς ἡδυπνόοις, ὀσμαῖς τῶν σῶν χαρίτων.

Ῥαντισμῷ τῶν θείων σου καμάτων, τὰς ἡμῶν πιαίνεις διανοίας, καὶ αὔλακας τὰς ψυχικάς, δαυϊτικῶς μεθύσκεις, τὸν Κύριον δοξάζων, τὸν δοξάσαντά σε, εἰς πάντας τοὺς αἰῶνας.

Ἀρωμάτων δέδεικται φιάλη, ἡ σεπτὴ καὶ πάντιμός σου κάρα, τῶν νόσων τὴν ἀποφοράν, ἐλαύνουσα ἀπαύστως, τῶν ὑπερυψούντων, καὶ δοξολογούντων, Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Σωτηρίας γέγονας αἰτία, ὡς τεκοῦσα Κόρη τὸν Σωτῆρα, τὸν λύσαντα τοὺς γηγενεῖς, κατάρας τῆς ἀρχαίας· ὅθεν σὲ ὑμνοῦμεν, καὶ δοξολογοῦμεν, τὴν Κεχαριτωμένην.

Καταβασία. Εὐλογεῖτε Παῖδες.

Κανὼν πρῶτος. Ὠδὴ θ΄. Μυστικὸς εἶ Θεοτόκε.

Ἱερῶν κατορθωμάτων τὸν δίαυλον, τετελεκὼς ὁσίως καὶ σοφῶς, μετέστης πρὸς Θεόν, ἀμοιβῶν δωρεὰς εἰληφὼς Ἰωάννη, δι᾽ ὧν καταφαιδρύνεις, τοὺς ὑμνοῦντας τὴν θείαν πολιτείαν σου.

Μεγαλύνας τῇ ἀσκήσει σου Ὅσιε, ὃν ἐκ νεότητος ἔστερξας Θεόν, ἐδείχθης προφανῶς, τῆς ἐνθέου αὐτοῦ μεγαλωσύνης σκεῦος· διὸ ἡ Κρήτη πᾶσα, μεγαλύνει τοὺς ἱεροὺς καμάτους σου.

Οὐρανίων ἀγαθῶν κατηξίωσαι, καὶ κληρονόμος ἐγένου ἀληθῶς, τοῦ σὲ ἐκ τῆς φθορᾶς πρὸς μονὰς φωταυγεῖς, καλέσαντος παμμάκαρ· διὸ κἀμοῦ τὸν ὕμνον, ῥυπαρῶν ἐκ χειλέων Πάτερ πρόσδεξαι.

Θεοτοκίον.

Ὑψηλότατον ἐδείχθης ἀνάκτορον, καὶ φωτοφόρος καθέδρα καὶ παστάς, τοῦ πάντων Λυτρωτοῦ, Θεοτόκε ἁγνή, ὡς Κεχαριτωμένη· διὸ κἀμὲ δοχεῖον, θεϊκῆς ἐπιλάμψεως ἀπέργασαι.

Κανὼν δεύτερος. Κυρίως Θεοτόκον.

Ἰάσεις ἀναβλύζων, πάτερ Ἰωάννη, ἀσθενειῶν ἐκλυτροῦσαι τοὺς κάμνοντας, καὶ εὐφροσύνης ἐνθέου, πληροῖς τοὺς δούλους σου.

Μυρίζουσιν ὡς κρίνα, οἱ πόνοι σου παμμάκαρ, καὶ καρδιῶν τὰς αἰσθήσεις εὐφραίνουσι, τῶν ἐκτελούντων προφρόνως τὴν θείαν μνήμην σου.

Ὁλόφωτος τῷ θρόνῳ, ἑστὼς τοῦ Ζωοδότου, τὸν σκοτασμὸν τοῦ νοός μου ἀπέλασον, καὶ πονηρᾶς συνηθείας, ῥῦσαί με Ὅσιε.

Θεοτοκίον.

Ὑπάρχεις τῶν ἐν σκότει, ἀνατολὴ φωσφόρος, καὶ τεθνεώτων ἀνάστασις Δέσποινα· διὸ κἀμὲ ἀναστήσασα, φωταγώγησον.

Καταβασία. Μυστικὸς εἶ Θεοτόκε.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἀγῶσι τῆς ἀσκήσεως, τὸ τῆς σαρκός σου φρόνημα, ἐνέκρωσας Ἰωάννη, τὴν δὲ ψυχὴν ἀπειργάσω, οἶκον φωτοειδέστατον, τῶν χαρισμάτων ὅσιε, τοῦ Παναγίου Πνεύματος, ὧν διανέμεις τὸν πλοῦτον, τοῖς καθαροῖς τῇ καρδίᾳ.

Ἕτερον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ὁ φωτοφόρος στῦλος, ὁ ὁδηγῶν διαπαντός, πρὸς τὴν ἀνέσπερον λῆξιν, τούς ἐν τῇ Κρήτῃ εὐσεβεῖς, ὁ Ἰωάννης ὁ θεῖος, μελῳδικῶς εὐφημείσθω.

Καὶ τὸ τῆς Ἑορτῆς.

Σταυρὸς ὁ φύλαξ πάσης τῆς οἰκουμένης· Σταυρὸς ἡ ὡραιότης τῆς Ἐκκλησίας· Σταυρὸς βασιλέων τὸ κραταίωμα· Σταυρὸς πιστῶν τὸ στήριγμα· Σταυρὸς Ἀγγέλων ἡ δόξα, καὶ τῶν δαιμόνων τὸ τραῦμα.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν Στίχους δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ Ἰωάννη ὅσιε, ἀνατεθεὶς τῷ Θεῷ, βιοτῆς θείας ἔλλαμψιν, καὶ τρόπων χρηστότητα, θεηγόρως ἐπλούτησας· τὸν γὰρ σταυρόν σου ἀναλαβόμενος, τοῖς ἐν τῷ κόσμῳ τερπνοῖς ἐσταύρωσαι. Ὢ τίς ἰσχύσειεν! ἐξειπεῖν ὡς ἔνεστι, τὸν ὁρμαθόν, τῶν κατορθωμάτων σου, ἐν οἷς διέπρεψας;

Πάτερ Ἰωάννη ἔνδοξε, τῶν ἀρετῶν τῷ φωτί, ἐν τῇ Κρήτῃ ἐξέλαμψας, ὡς φωστὴρ οὐράνιος, καὶ πολύφωτος ἥλιος, διασκεδάζων παθῶν τὴν ζόφωσιν, καὶ καταυγάζων τοὺς σὲ γεραίροντας. Ὅθεν ἐκλύτρωσαι, πολυπλόκων θλίψεων καὶ συμφορῶν, τοὺς πανηγυρίζοντας, τὴν θείαν μνήμην σου.

www.tezaurliturgic.ro



Πάτερ Ἰωάννη ὅσιε, τῆς τῶν γονέων στοργῆς, τὴν ἀγάπην τοῦ Κτίσαντος, νουνεχῶς προέκρινας, ὡς βαθμίδα οὐράνιον, δι᾿ ἧς ἀνῆλθες πρὸς ὕψος ἄῤῥητον, καὶ τοῦ Σωτῆρος τὴν ὡραιότητα, νοῦ καθαρότητι, ἱερῶς κατώπτευσας θαυμαστωθείς, ταῖς αὐτῆς ἐμφάσεσι, καθάπερ Ἄγγελος.

Πάτερ Ἰωάννη ἔνδοξε, ὡς Σαμουὴλ ἐκ παιδός, καὶ ὁ μέγιστος Πρόδρομος, δῶρον ἱερώτατον, σεαυτὸν προσενήνοχας, τῷ ζωοδότῃ καὶ Ἀρχιποίμενι, ὥσπερ ἀρνίον τούτῳ ἑπόμενος. Ὅθεν ἐσκήνωσας, μάνδραν εἰς οὐράνιον διαπαντός, βλέπων τὴν λαμπρότητα, τοῦ σὲ δοξάσαντος.

Δόξα Πατρί. Ἦχος πλ. α΄.

Ἰωάννη ὅσιε, σὺ τῇ θεία φρονήσει κοσμηθείς, τοῦ Εὐαγγελίου, ἐργάτης δόκιμος ἐφάνης· τὴν ἀληθῆ γὰρ δικαιοσύνην ποθήσας, τὴν τεθλιμμένην ὁδὸν ἀκλινῶς ἐπορεύθης, τὰ ἐν κόσμῳ βδελυξάμενος· καὶ τῆς ἐναρέτου διαγωγῆς, χαρακτὴρ γενόμενος, τῆς οὐρανίου βασιλείας, τὸ δηνάριον ἐδέξω, ἐν ᾗ σὺν τοῖς ἀπ᾿ αἰῶνος Ἁγίοις χορεύων, ἀπαύστως ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Ἡ φωνὴ τῶν Προφητῶν σου, Ἡσαΐου καὶ Δαυΐδ ἐπληρώθη ὁ Θεός, ἡ λέγουσα· ἥξουσι πάντα τὰ ἔθνη Κύριε, καὶ προσκυνήσουσιν ἐνώπιόν σου· ἰδοὺ γὰρ ὁ λαός, ὅς τῆς σῆς ἀγαθὲ χάριτος πεπλήρωται, ἐν ταῖς αὐλαῖς σου Ἱερουσαλήμ. Ὁ Σταυρὸν ὑπομείνας ὑπὲρ ἡμῶν, καὶ τῇ Ἀναστάσει σου ζωοποιῶν, φύλαξον καὶ σῶσον ἡμᾶς.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ὁσίου ἡ γ΄ καὶ στ΄ Ὠδή. Ἀπόστολον, ζήτει τῇ ε΄ Δεκεμβρίου καὶ Εὐαγγέλιον, τῇ ιζ΄ Ἰανουαρίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάρια.

Χαίροις ὁ τῆς Κρήτης θεῖος βλαστός, καὶ τοῦ Παρακλήτου, ἀκηλίδωτος θησαυρός· χαίροις Ἰωάννη, ὁ κτίτωρ καὶ προστάτης, τῆς Μυριοκεφάλων, Μονῆς ὁ ἔνθεος.

Ἅπασαν τὴν Κρήτην διαδραμών, πανταχοῦ ἐδείμω, τῷ Σωτῆρι θείους ναούς· σεαυτὸν γὰρ Πάτερ, ναὸν προκατειργάσω, τῆς τρισηλίου δόξης, βίου φαιδρότητι.

Χεῖράς σου τὰς θείας πρὸς τὸν Θεόν, ἔκτεινον παμμάκαρ, εἰς πρεσβείαν ὑπὲρ ἡμῶν, τῶν ἐπιτελούντων, τὴν ἱεράν σου μνήμην, ὅσιε Ἰωάννη, Κρητῶν ὡράϊσμα.

Ἕτερα, ἐκ τῆς παλαιᾶς Ἀκολουθίας τοῦ Ὁσίου.

Χαίροις ὁ τῆς Κρήτης θεῖος βλαστός, καὶ τῶν μοναζόντων, ἀντιλήπτωρ τε καὶ φρουρός· χαίροις ὁ τῆς θείας, ὅσιε Ἰωάννη, μονῆς Μυριοκεφάλων, κτίτωρ γενόμενος.

Δεῦτε τὸν τῆς Κρήτης θεῖον βλαστόν, Ἰωάννην ὄντως, ἀνυμνήσωμεν εὐλαβῶς, τὸν κτίσαντα πόθῳ, ναὸν τῆς Θεοτόκου, τῶν Μυριοκεφάλων, Ἀντιφωνητρίας.

*Δίστιχον.*

*Χάριτος πλῆσον ὦ Ἰωάννη θείας*
*Γεράσιμον μέλψαντα σὰς ἀριστείας.*